Από: F. Conca, *Il romanzo bizantino del XII secolo* (1994)



πρὸς τηλικούτων εἰσδοχὴν τεταγμένοις,
καὶ τοῖς ὑπ᾽ αὐτὸν ἐγκελεύει βαρβάροις
ἱστᾶν κρατῆρα καὶ τράπεζαν εἰσάγειν.
Καὶ συγκαθεσθεὶς Γωβρύας Ἀρταξάνῃ
ἐνετρύφων μὲν ταῖς τροφαῖς οἱ σατράπαι,
ἐνετρύφων δὲ τοῖς κρατῆρσιν εἰς πλέον.
    Ἦν οὖν τὸ δεῖπνον τῆς γλυκύτητος γέμον
καὶ πρὸς τὸ θαυμάσιον ἠτοιμασμένον.
Προὔκειτο μὲν γὰρ ὀπτὸς ἀρνὸς ἐν μέσῳ,
ἐπεὶ δὲ τοῦτον συλλαβὼν Ἀρταξάνης
ὥρμα διαιρεῖν καὶ διασπᾶν, ὡς φάγοι,
προὔκυπτον ἐκτὸς ἐκ μέσης τῆς γαστέρος
στρουθοὶ νεογνοί, καὶ πτέρυξιν ἠρμένοι
ὑπερπετῶντο τὴν κάραν τοῦ σατράπου[3].
Ἀρταξάνης οὖν ἦλθεν εἰς θάμβος μέγα,
τὸν Γωβρύαν δὲ λαμβάνει πλατὺς γέλως
ἐφ᾽ οἷς τέθηπε τὴν θέαν Ἀρταξάνης.
    Μικρὸν δ᾽ ἐπισχὼν τὸν πλατὺν τοῦτον γέλων
‘ὁρᾷς’, ἔλεξε, ‘παμμέγιστε σατράπα,
τοῦ δεσπότου μου τὴν δύναμιν Μιστύλου,
ὡς ἐξαμείβειν ἰσχύει καὶ τὰς φύσεις,
καιναῖς ἀμοιβαῖς καὶ τροπαῖς πολυτρόποις
τρέπων ἕκαστα καὶ μεθιστῶν ὡς θέλει.
Ὁρᾷς τὸν ἀρνὸν ὡς κυΐσκει στρουθία·
τῆς φύσεως μὲν ἀγνοήσας τὸν νόμον,
ὡς πτηνὸν ὄρνιν πτηνὸς ὄρνις ἐκκύει,
ὑπηρετῶν δὲ τῇ κελεύσει Μιστύλου
ἀρνὸς πετεινὰ βλαστάνει τῶν ἐγκάτων.
    Τί δ᾽; Οὐχὶ θαῦμα καὶ τὸ πῦρ φέρει μέγα,[4]
ὅπερ τὸν ἀρνὸν ἀνθρακῶσαν, ὡς βλέπεις,
ἔσωθεν ἐλθεῖν εὐλαβῶς ὑπεστάλη,
μή που λυμανθῇ τὸ πτερὸν τοῖς στρουθίοις;
Καὶ γὰρ τοσοῦτον καὶ τὸ πῦρ οἶδε φλέγειν,
ὅσον μόνον βούλοιτο Μιστύλος φλέγειν·
πλέον δὲ πιμπρᾶν τῆς φλογὸς δωρουμένης,
ὅμως ἐκεῖθεν εὐλαβῶς ὑποστρέφει,
οἷον δεδοικὸς μὴ κατὰ γνώμην φλέγοι,
ἃ τῷ βασιλεῖ μὴ κατὰ γνώμην φλέγειν.
    Ὁρᾷς, ἄριστε σατραπῶν Ἀρταξάνη,

τοῦ δεσπότου μου τοῦ μεγίστου τὸ κράτος,
ὡς ἐξαμείβει καὶ τυραννεῖ τὰς φύσεις,
ψυχρὰν δὲ ποιεῖ τοῦ πυρὸς τὴν οὐσίαν
ψιλῇ κελεύσει κἀκ θελήσεως μόνης·
ὡς ἀρνοφυῆ δεικνύει τὰ στρουθία,
ἀρνοὺς δὲ ποιεῖ στρουθοπάτορας ξένους,
καὶ μήτραν ἀρτίφλεκτον, ἐξωπτημένην,
βρεφῶν ἀκαύστων, ἐμβρύων καταπτέρων
γεννήτριαν δείκνυσιν ἐκ μόνου λόγου,
ἃ φύσις οὐκ ἔγνωκεν οὐδέ τις λόγος
πλάττων, παριστῶν τῇ τεραστίῳ πλάσει.
    Ἢ που κελεύσας κἂν μέσαις τυχὸν μάχαις
καὶ στρατιώτας ἄνδρας, ἁδροὺς ὁπλίτας,
σπάθαις σὺν αὐταῖς καὶ μετ᾽ αὐτῶν ἀσπίδων,
γεννήτορας δείξειε πολλῶν σκυλάκων,
καὶ γαστέρας θώραξιν ἠσφαλισμένας
ἐγκυμονεῖν πείσειεν ἔμβρυα ξένα,
ἕλκων, μεθέλκων τῇ θελήσει τὰς φύσεις.'
    'Μὴ μὴ πρὸς αὐτῆς τῆς τραπέζης, Γωβρύα',
Ἀρταξάνης ἔλεξε, 'μὴ πρὸς τοῦ πότου,
ᾧ με ξενίζει δαψιλῶς ὁ Μιστύλος,
ὁ πάντα ποιῶν καὶ μεθιστῶν, ὡς λεγεις,
μὴ τὴν ἐμὴν γοῦν κοιλίαν διευρύνῃ
ἡ τοῦ μεγάλου προσταγὴ βασιλέως,
ὡς ἐκτεκεῖν σκύλακας, αἴσχιστα βρέφη.
Μὴ τῶν γυναικῶν τὴν ἐπάρατον τύχην
καὶ τοὺς ὑπαλγύνοντας ἐν τόκοις πόνους
ἀνδρὶ στρατάρχῃ δυστυχῇ δώσοι χάριν.
Ποῦ γὰρ παρ᾽ ἡμῖν καὶ γάλακτος ἐκχύσεις,
εἴ που δεήσει φυσικῷ πάντως λόγῳ
γάλακτος ὁλκοῖς ἐκτραφῆναι τὰ βρέφη;
Ἄλλως δὲ καὶ πῶς τὴν τοσαύτην αἰσχύνην
ἀνὴρ στρατάρχης καρτερήσειν ἰσχύσει
ἐγκυμονῶν ἄθλιος ἄθλια βρέφη;'
    Πρὸς ταῦτά φησι Γωβρύας μεταφθάσας·
'παῦσαι, μέγιστε σατραπῶν, Ἀρταξάνη,
θεοὺς ἀτεχνῶς λοιδορῶν τοὺς ὀλβίους,
ὃς αἰσχύνην φῂς ἀρρένων οὐ μετρίαν
τὸ μήτραν αὐτοὺς ἐμβρυοτρόφον φέρειν.

Εἴπερ γὰρ ὁ Ζεύς, τῶν θεῶν ὁ βελτίων,
ὁ γῆν ἀνασπῶν καὶ τὸ πᾶν περιτρέπων
βάθρων μετ' αὐτῶν καὶ σὺν αὐταῖς κρηπίσι,
καὶ τοῦ κεραυνοῦ τῶν βελῶν ὁ τοξότης,
ἔμβρυον ἀρτίφλεκτον εἰς μηρὸν μέσον
ἡμιτελεσφόρητον ἐρράπτειν θέλει
καὶ ζωπυρηθὲν ἐξάγει πρὸς ἡμέραν,
καὶ μητρικόν τι καὶ γυναικῶδες πάθος
ὁ τῶν Τιτάνων βασιλεὺς ὑποστέγει[5]·
εἰ τὴν Ἀθηνᾶν ἐκ κεφαλῆς ἐκκύει,
ξίφει ῥαγείσης καὶ διχασθείσης μέσον[6],
πῶς αἰσχύνην φαίημεν ἀνδρῶν γηΐνων
ἃ τοῖς θεοῖς τίμια τοῖς οὐρανίοις;
Σὺ δ' ἀλλὰ μηδὲν ἐλπίσαις πεπονθέναι
φίλος καθεστὼς τοῦ μεγίστου Μιστύλου.'
    Ἀρταξάνης μέν, ἀλλὰ μὴν καὶ Γωβρύας
τοιοῖσδε πολλοῖς ἠσχολοῦντο τοῖς λόγοις,
ὁ Γωβρύας μὲν ἐκφοβῶν Ἀρταξάνην
καὶ κρυφίως πως ἐγγελῶν φοβουμένῳ,
Ἀρταξάνης δὲ τοὺς λόγους ὑποτρέμων.
Ἀλλ' ἀντεπελθὼν τῇ κελεύσει Γωβρύου
ὁ θαυματουργὸς εἰς μέσον Σατυρίων
ἔπαυσεν ἀμφοῖν τοὺς λόγους τοῖν σατράπαιν.
Ἐξῆπτο μὲν γὰρ ἠκονημένην σπάθην,
ἐγυμνίτευε μέχρις αὐτῆς ὀσφύος,
τὸ δ' ἔνθεν ἐνδέδυτο ποικίλον φάρος,
βαφαῖς περιτταῖς εὐβαφῶς κεχρωσμένον.
Μικρός τις ἦν, κάτισχνος, ᾐσβολωμένος,
κόμην δὲ καὶ γένειον ἐξυρημένος,
καὶ μορμολύττων, ὡς τὰ πολλά, τὰ βρέφη·
καὶ πάντας εἰς γέλωτα συγκινῶν μέγαν
Ἅιδης ἀμειδὴς οὗτος εἱστήκει μόνος.
    Ἐπεὶ δ' ἐπέλθοι καὶ παρασταίη μέσον,
Ἀρταξάνου βλέποντος ἐντρανεστέρως,
εἰς γυμνὸν ὤθει τὸν τράχηλον τὴν σπάθην[7],
καὶ κρουνὸς ἐξέβλυζεν εὐθὺς αἱμάτων[8],
καὶ νεκρὸς εἰς γῆν ἄθλιος Σατυρίων

## ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ

Ὁ μὲν γίγας Ἥλιος ἄρτι τῶν κάτω
ἄνω τὸν ἀκάμαντα δίφρον ἑλκύσας,
τὸν ὑπὲρ ἡμᾶς ὑπερίππευε δρόμον,
ὁ δὲ Βρυάξης ἐξαναστὰς τῆς κλίνης,
θεῶν προεμνήσατο τῶν θαλασσίων
καὶ τῶν ἐφ' ὕψους Ἄρεος καὶ Παλλάδος.
Εὐξάμενος δὲ πρὸς μάχης χωρεῖ στόμα
καὶ τοὺς κυβιστητῆρας[1], ἄνδρας γεννάδας,
οὓς εὖ κυβιστᾶν εἶχεν ἐξησκημένους,
λαβεῖν σιδηρᾶς ἐν χεροῖν λέγει σφύρας
(μικράς γε μὴν μάλιστα, μή που τῷ βάρει
καὶ σφᾶς ἐκείνους συγκατασπῷεν κάτω)
καὶ δύντας εἰς θάλασσαν ἐν λαθριδίῳ
(ὡς ἀφανὲς τὸ σκέμμα τοῖς ἐχθροῖς μένοι)
ὑποδραμεῖν μὲν τὰς τριήρεις Μιστύλου,
τὰ γεῖσσα[2] δὲ σφῶν κρυπτάδην διασπάσαι,
ὡς ἂν χεθέντων ἔνδοθεν τῶν ὑδάτων
ἐκ τῶν ἐκεῖθεν σχισμάτων καὶ σπασμάτων
τοῖς ἔνδον ὑγρὸς εὐτρεπισθείη τάφος.
Οἱ γοῦν κυβιστητῆρες αὐτῷ τῷ λόγῳ
τῇ προσταγῇ παρέσχον αἴσιον πέρας·
ὁ δὲ Βρυάξης συγκινήσας τὸν στόλον,
ἐπεὶ κατὰ πρόσωπον ἦν τῷ Μιστύλῳ,
στερρὰν ἐκεῖθεν τὴν μάχην ἀντεκρότει.
Τὰ πρῶτα μὲν δὴ καὶ κατ' ἀρχὰς τῆς μάχης
τὸ κρεῖττον εἶχεν ὁ στόλος τοῦ Μιστύλου·
τρεῖς γὰρ τριήρεις συλλαβὼν ὁ Γωβρύας
ἐκ τῆς ἐκεῖθεν δυσμενοῦς ναυαρχίας,
ὅπλων μετ' αὐτῶν καὶ σὺν αὐτοῖς ναυμάχοις,
μικροῦ γ' ἂν ἐτροποῦτο τοὺς ἐναντίους
καὶ πρὸς φυγὴν ἔκλινεν αὐτοὺς ἀθρόαν.
Ἀλλ' οἱ κυβιστητῆρες, οὓς εἶπον φθάσας,
τὰς ναῦς ὑποδραμόντες αὐταῖς ταῖς σφύραις
καὶ τὴν κάτωθεν ἁρμογὴν λελυκότες,
ἄελπτον εἰργάσαντο τοῖς πολλοῖς φόνον·
οἱ μὲν γὰρ εἱστήκεισαν ἀντισυστάδην
σπάθαις σιδηραῖς προσκροτοῦντες τὴν μάχην,

ὑγρόστομον δὲ σφᾶς κατέσφαζε ξίφος.
Ἦν οὖν ἰδεῖν θέαμα δακρύων γέμον
καὶ μεστὸν οἴκτου συμπαθούσῃ καρδίᾳ·
ὁ μὲν γὰρ εὐπάλαμος ἀνὴρ τοξότης
λαβὼν τὸ τόξον, τὴν δὲ νευρὰν ἑλκύσας,
πρὶν ἂν προτείνῃ τὴν βολὴν τάλας τάλας,
ἄωρος ἧκτο καὶ πρὸ τῆς εἱμαρμένης
εἰς τὴν ἄπληστον τῆς θαλάσσης γαστέρα,
τόξου μετ᾽ αὐτοῦ καὶ σὺν αὐτῷ τῷ βέλει,
μηδ᾽ αὐτὸ κἂν γνούς, ὅστις αὐτὸν ἁρπάσοι.
Ἄλλος βαρεῖαν ἐν χεροῖν ἄρας λίθον,
πρὶν ἂν προπέμψῃ καὶ βάλῃ κατασκόπως,
βέβλητο τρισδείλαιος ὑγρᾷ σφενδόνῃ,
μηδὲ βραχὺν γοῦν προφθάσας φάναι λόγον.
Ὁ Μιστύλου δὲ σατράπης ὁ Γωβρύας,
οὗ μνημονεύω πολλαχοῦ μοι τοῦ λόγου,
'ὤμοι Ῥοδάνθη', μικρὸν οἷον κραυγάσας,
'ὡς οἴχομαί σοι καὶ ξυνοίχονται γάμοι',
ψυχὴν συνεξέρρηξεν αὐτῷ τῷ λόγῳ.
Οὕτω βιαιότατον ἐν κακοῖς Ἔρως,
ὅταν ἐπιπτὰς ἐς μέσην τὴν καρδίαν
ἐκεῖ πανημέριος ἐμμένειν θέλῃ
καὶ παννυχίζῃ δυσμενεῖς παννυχίδας·
πάντων γὰρ αὕτη, συμπεσόντων πραγμάτων,
καταφρονοῦσα, καὶ θανάτου καὶ ξίφους,
ὅλην ἑαυτὴν (κἂν ἀφέλκηται βίᾳ)
ὅλης ἀναρτᾷ τῆς ἐρωμένης θέας.
Σχεδὸν μὲν οὖν ἅπαντες οἱ τοῦ Μιστύλου,
ἢ γοῦν τὸ πλεῖστον τοῦ στόλου τέως μέρος,
ἅλμην πιόντες ἐξαπῆλθον τοῦ βίου,
ψυχὰς συνεξεμοῦντες οἷς πεπώκεσαν.
Οὕτω τὸ λεῖπον τῆς σταθηρᾶς ἰσχύος
ἡ πληρότης πίμπλησι τῆς εὐβουλίας,
καὶ λῷστόν ἐστιν ἀσθενὴς βουληφόρος
ἢ καρτερὸς τὸ σῶμα μὴ βουληφόρος.
Τούτοις μὲν οὖν τοιοῦτο τοῦ βίου τέλος
(τοῦ γὰρ λόγου τὸ σῶμα συνεχιστέον,
οἷον διχασθὲν τῇ παρεμπτώσει μέσον),
μέρος δὲ μικρόν, οἷς ἐπ᾽ ἀκταῖς ἡ στάσις,

συχνοῖς ἐρετμοῖς (δυστυχεῖς κωπηλάται)
τὸν ἐν θαλάσσῃ θάνατον πεφευγότες,
ἔλαθον, ἐξ ὧν ἐξέφυγον ἀρκύων,
τούτοις παρέντες ἀμφὶ τὴν χέρσον μέσην·
ὁ γὰρ Βρυάξου σατράπης Ἀρταξάνης
πεζῇ προσελθὼν τῇ πόλει τοῦ Μιστύλου,
ἔκτεινε τοὺς φυγόντας ἐξ ὑγροῦ τάφου.
Οὕτως ἄφυκτός ἐστιν ἡ πεπρωμένη·
κἄν σοι τὸ νῆμα τοῦ βίου τμηθὲν φθάσοι,
οὐκ ἂν βιῴης, κἂν μακρὸν δράμῃς δρόμον·
κἄν που φύγῃς θάλασσαν, ἡ χέρσος πέλας,
κἂν γῆν, ἀὴρ πάρεστι· πανταχοῦ θεοί[3].
Ὁ δυστυχὴς δὲ ταῦτα Μιστύλος βλέπων,
σταθεὶς ἄνωθεν τοῦ κέρως τῆς ὁλκάδος,
γυμνὴν μάχαιραν ἐν χεροῖν ἐσπασμένος,
βαθὺ στενάξας καὶ δριμὺ κράξας λέγει·
'Μιστύλε, πολλοῖς πολλαχοῦ καὶ πολλάκις
ταῖς χερσὶ ταύταις τὸν φόνον κατειργάσω·
ἐπεὶ δὲ νῦν θεῶν σε καὶ Τύχης φθόνος
προὔδωκεν ἤδη τοῦ Βρυάξου τῇ σπάθῃ,
μὴ καρτέρει γοῦν ἐκ νόθου θανεῖν ξίφους,
ἡ σὴ δὲ χείρ σε καὶ σπάθη φονευέτω.
Μὴ γὰρ τὸν ἐχθρὸν ὑπεροψίας λόγους
δοίης λαλῆσαι, μηδ' ἀκοῦσαι τὸν πέλας,
ὡς τῆς μαχαίρας τῆς ἐκείνου τὸ στόμα
κατευστοχήσοι τοῦ τραχήλου Μιστύλου.'
Ἔλεξε ταῦτα καὶ κατ' αὐτῶν ἐγκάτων
τὴν ἰδίαν ὤθησεν αὐτίκα σπάθην,
πικρὰν ἑαυτῷ τὴν σφαγὴν ὑπαρτύσας.
Οὕτω λαβούσης τῆς μάχης τὰ τοῦ τέλους,
οἱ συμμαχοῦντες τῷ Βρυάξῃ ναυμάχοι,
αὐτῷ βασιλεῖ καὶ σὺν αὐτοῖς σατράπαις,
κενὰς λιπόντες τὰς ἑαυτῶν ὁλκάδας
πεζῇ προσῆλθον τῇ πόλει τοῦ Μιστύλου,
πάντας τε καθέξοντες ἄνδρας ἀθρόως
καὶ δουλαγωγήσοντες αὐτὴν τὴν πόλιν,
ὡς οἷα γυμνὴν δεσπότου καὶ συμμάχων.
Ἦν οὖν ἰδέσθαι τοὺς νεὼς συλωμένους,
τοὺς ἀνδριάντας τῶν θεῶν ῥιπτο⟨υ⟩μένους,